Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: tyc-ca

*Ζώσιμος ὁ Πανοπολίτης* · Zosimus of Panopolis

# Alchemical Excerpt

*Ἀλχημικὸν ἀπόσπασμα*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

versio1 (t) Μʹ Ἐγέλασά σοι καὶ εἰς ἐξάκουστον ἐν ταῖς τάξεσι τῶν ὀργάνων τούτων· φησὶ γὰρ εἰς ἑκάστην· ἐχέτω ἡ λοπὰς μνᾶν θείου ἀπύρου. Καὶ ἐθαύμασά σε καὶ ἐν τούτῳ ὅτιπερ οὐκ ἀνασχομένη τοῦ φθόνου ἠξίωσας καὶ ταῦτα γραφῆναί σοι. Τάχα δὲ καὶ εἰς κατάγνωσιν ἧκες τοῦ Φιλοσόφου ὅτιπερ ἐτόλμησεν εἰπεῖν ὅτι ταῦτα ἑκὼν παρεσιώπησα διὰ τὸ ἀφθόνως αὐτὰ κεῖσθαι ἐν ταῖς ἄλλαις μου γραφαῖς [στέατι ἢ κηρῷ ἢ πηλῷ ἢ ὡς βούλει καὶ καύσας ἀνάσπα· ὁ δὲ τύπος οὕτως ἐν γραφαῖς]. Καὶ ἐγκύψασα εἰς ἀκάματον φθόνον, κατέγνως τοῦ Φιλοσόφου μάτην· οὐ γὰρ ἐνόησας τί εἶπεν. Οὐκ εἶπεν γὰρ ὡς καὶ ἐν τοῖς πρότερον ὑπομνήμασιν ὅτι τῶν ὑδάτων ἡ ποίησις, ἀλλὰ ἡ ἄρσις· ἕτερον γάρ ἐστι ποίησις καὶ ἕτερον ἄρσις. Τὴν ἄρσιν αὐτῶν εἶπεν ἀφθόνως γεγράφθαι. Τὴν δὲ ποίησιν αὐτῶν οὐδεὶς ἐξέθετο. Τοῦτο γὰρ ἦν τὸ ἐμφανὲς μυστήριον, τοῦτό ἐστιν τὸ σφόδρα κεκρυμμένον. Ἡ οὖν ἄρσις τοιάδε ἐστίν, ἡ διὰ τούτων τῶν ὀργάνων [καὶ τῶν ὁμοίων, τῶν ὡς ἀπὸ τοῦ νοὸς γινομένων, καὶ μάλιστα ἐάν [εἰ] τις προπαιδευθῇ τὰ Πνευματικὰ Ἀρχιμήδους, ἢ Ἥρωνος, καὶ τῶν ἄλλων καὶ τὰ Μηχανικὰ αὐτῶν] ἐν οἷς φάσκει ὁ Φιλόσοφος αἵρεσθαι τὸ ὕδωρ Μ Ἐγέλασα εἰς ἐξάκουστον γραφῶν ταύτην τὴν τάξιν λέγουσαν· ἐχέτω ἡ λοπάς, φησίν, μνᾶν θείου ἀπύρου.

versio2 (t) Καὶ ἐθαύμασα καὶ ἐν τούτῳ ὅτιπερ οὐκ ἀνεχομένη [ἢ] τοῦ φθόνου ἠξίωσας καὶ τοῦτο γραφῆναί σοι. ʼ Κατέγνως μάτην τοῦ Φιλοσόφου· οὐ γὰρ ἐνόησας τί εἶπεν· «Καὶ ἐν τοῖς προτέροις ὑπομνήμασιν εἶπον ὅτι τῶν ὑδάτων ποίησιν οὐκ εἶπον, ἀλλ’ ἄρσιν»· ἕτερον γὰρ ποίησις καὶ ἕτερον ἄρσις. Τὴν ἄρσιν αὐτῶν εἶπεν ἀφθόνως. Τὴν δὲ ποίησιν αὐτῶν οὐδεὶς ἐξέθετο. Τοῦτο γὰρ ἦν τὸ ἐμφανὲς μυστήριον, τοῦτ’ ἔστιν τὸ σφόδρα κεκρυμμένον. Ἡ μὲν ἄρσις τοιάδε, ἡ διὰ τούτων τῶν ὀργάνων [ἡ δὲ ποίησις ἤτοι σύνθεσις τούτου τοῦ ὕδατος ἐν ʼ τῇ κατὰ πλάτος ἐκδόσει τοῦ ἔργου συγγέγραπται] ʼ ἐν οἷς φάσκει ὁ Φιλόσοφος αἵρεσθαι τὸ ὕδωρ. Τὸ δὲ γίγνεσθαι ἢ συντίθεσθαι οὐκ ὀκνήσω σοι γράψαι, δέσποινα. Ἔχει δὲ ἡ ποίησις τῶν ὑδάτων οὕτως· ὕδωρ θείου, ἀρσενικοῦ, σανδαράχης, νίτρου, ὕδωρ φαίκλης, ὕδωρ ἀσβέστου, ὕδωρ σποδοκράμβης, ὕδωρ στυπτηρίας σχιστῆς, οὔρου, γάλακτος ὀνείου, αἰγείου· κυνὸς γάλα [πολλάκις] καὶ βόειον ἢ γυναικὸς ἀρσενοτόκου, κατὰ τὸν Ἀγαθοδαίμονα, καὶ ὄξος καὶ ὕδωρ θαλάσσιον καὶ μέλι καὶ κίκινον ἔλαιον καὶ οὖρον ἀφθόρων καὶ κόμμι.

versio2 Γίνεται δὲ οὕτως ἕκαστον ὕδωρ ὡς ἅλμη δικαία, ἐπὶ δὲ τῶν σποδῶν ὡς ἡ σαπωναρικὴ στακτὴ ἥντινα ἐν τοῖς γναφικοῖς τῶν Χειροκμήτων σοι προσεφώνησα. Ἐὰν δὲ μὴ δυνηθῇς, συντιθέναι τῇ κοτύλῃ τοῦ ὕδατος εἴδους οὐγγίαν αʹ, οἷον θείου οὐγγίαν αʹ ὕδατος καθαροῦ κοτύλη αʹ·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀρσενικοῦ οὐγγίαν α′ ὕδατος κοτύλῃ α′· σανδαράχης οὐγγίαν α′ ὕδατος κοτύλῃ 〈α′〉· φαίκλης ὀπτῆς ἀποσβεσθείσης εἰς ὄξος, ἀσβέστου ἀποσβεσθείσης εἰς οὐρόγαλον 〈οὐγγίαν α′ ὕδατοσ〉 κοτύλῃ α′· στυπτηρίας σχιστῆς οὐγγίαν 〈α′〉 λυθείσης εἰς ὕδωρ θαλάσσιον ὕδατος κοτύλῃ α′· καὶ νίτρου πυρροῦ ὁμοίως. Καὶ ἑψήσας ἰδίᾳ, ὁμοῦ τὰ ὕδατα ὀλίγον. Ἵνα τὴν δύναμιν λάβῃ, ἀποσείρωσον ἢ ἀπόσταξον εἰς ἄλλην χύτραν συνεμβάλλων τὸ μέλι καὶ τὸ ἔλαιον. Καὶ ἐὰν μὲν λευκοῦ θείου χρεία, συλλείου τῷ ὕδατι γῆν Χίαν, ἀστερίτην, ἀφροσέληνον ὀπτόν, 〈στῖμι〉 Κοπτικόν, Σαμίαν, Καρικήν, Κιμωλίαν ἢ στιλβάδα. Καὶ βαλὼν εἰς χύτραν [καὶ] κυάνεον γενάμενον τὸ ὕδωρ, μάρμαρον ἐκ τῆς γῆς βάλλε καὶ μίσυ ὠμὸν καὶ ἄλλο μέρος ἀσβέστου ἵνα εἰς μέρη β′ κατὰ τὰς τῶν ἀρχαίων γραφάς, ἵνα λέγηται τοῦτο τὸ δι’ ἀσβέστου καὶ ἐπίθες τὸ ὄργανον τῇ χύτρᾳ καὶ ἀνακόμιζε τὸ ὕδωρ καὶ χρῶ. Τὸ δὲ ξανθὸν ὕδωρ γίνεται οὕτως· εἰς πάντα τὰ ὕδατα κατὰ τὴν συσταθμίαν τὴν πρόσθεν δεδηλωμένην οὐκέτι λαμβάνουσαν ἀσβέστου μέρη β′ 〈ἀλλ’〉 ἁλὸς α′, καὶ ἀφεψήσασα ἓν ἕκαστον καὶ συμμίξασα συλλείου οὐκέτι γᾶς λευκάς, ἀλλὰ ξανθὰς γᾶς· ξανθὸν γὰρ ὕδωρ βουλόμεθα. Αἱ δὲ γαῖ εἰσιν· ὤχρα Ἀττικὴ καὶ σινωπὶς Ποντικὴ καὶ μίσυ ὀπτὸν καὶ χάλκανθος ὀπτὴ καὶ τὰ ὅμοια. 〈...〉· βοτάναι πᾶσαι ἃς οἴδασι κοινῶς, καὶ λέκιθος καὶ [ᾠῶν] κρόκος καὶ ἐλύδριον τὸ διπλοῦν. Τὰς μὲν πόας οὐ συνενοῖς τῷ ὕδατι, ἀλλὰ μόνον τὰς γᾶς. Καὶ μεταβάλλουσα, ὡς ἔθος ἐστίν, λοπάδα, σύμβαλε τὰς βοτάνας καὶ ἕψει τέσσαρας ἡμέρας πυρὶ ἐπιθεῖσα ἐν τῷ ὀργάνῳ καὶ ἀνακόμιζε τὸ ὕδωρ καὶ χρῶ μετὰ κόμμεως. Καὶ ἀποσκεπάσασα εὑρήσεις τὰς πόας κατακαείσας ἀλλὰ καὶ ἀφείσας τὸ ἴδιον βάμμα ἤτοι τὸ ἴδιον πνεῦμα. Τοῦτο τοῦ ὕδατος τοῦ θείου τοῦ ἀθίκτου ἔχει δύναμιν καὶ φύσιν. Ἐὰν ζεστῷ τῷ ὕδατι ἐπιβάψῃς ἄργυρον, ἔσται ἀνεξάλειπτον. Ἔρρωσο. [90]

Eulogikon public reading copy · View original HTML at eulogikon.org